τῆς αὐθεντείας. Ἡ ἀποστολὴ οὐ λύει τὸ ὁμοούσιον, τὸ ὁμοφυὲς οὐ τρέπει πρὸς ἑτερότητα· ὅτε ἐξῆλθεν ἐκ τοῦ Πατρὸς καὶ ἧκεν ὁ Υἱός, τότε ἀποστέλλει καὶ τὸ Πνεῦμα· οὔτε ἐν τῇ ἐξελεύσει διάστασις, οὔτε ἐν τῇ ἀποστολῇ χωρισμός. Ἐξῆλθε μένων, καὶ ἀπέστειλε παρ' ἑαυτῷ ἔχων· Ἀνιστᾷ τὸν Χριστὸν τὸ Πνεῦμα, οὐχ ὡς ἀτονούσης τῆς ἑαυτοῦ 1) θεότητος, ἀλλ' ἵνα τὴν ἐνέργειαν τοῦ Πνεύματος τῆς ἐν τῷ Υἱῷ νοήσῃς οὐκ ἀλλοτριωμένην θεότητος. Εἶτα, τὸ Πνεῦμα μὲν ἀποστέλλει τὸν Πατέρα, οὐ πολλάκις δέ, ἵνα διὰ μὲν τοῦ ἀποστέλλειν ὅλως τῆς αὐτῆς μὴ διαπέσῃ, κατὰ τὴν αἱρετικὴν γλωσσαλγίαν, ἰσοτιμίας καὶ θεότητος, διὰ δὲ τοῦ μὴ πολλάκις τὸ ἐν Τριάδι αἴτιον μὴ νομισθῇ κοινὸν τῶν τριῶν. Διὰ τοῦτο λέγεται μὲν πολλάκις ὁ Πατὴρ διὰ τοῦ Πνεύματος ἐνεργεῖν, ὡσαύτως δὲ καὶ διὰ τοῦ Υἱοῦ, πολλάκις μέν, ἵνα τὸ αἴτιον τῷ Πατρὶ βεβαιωθῇ, οὐ πολλάκις δὲ τὸ Πνεῦμα διὰ τοῦ Πατρός, οὔτε ὁ Υἱός, ἵνα μὴ διὰ τοῦ πολλάκις ἐνεργεῖν διὰ τοῦ Πατρὸς τὸ Πνεῦμα καὶ τὸν Υἱὸν ἡ κακομήχανος καὶ πολύτροπος λύσσα τῶν αἱρετικῶν εἰς ἐλάττω τάξιν τὴν ὑπόστασιν ἢ τὴν δόξαν καταβιβάσῃ τοῦ Πατρός, ἤ, τό γε προχειρότερον, τὴν τοῦ αἰτίου περιέλοι τιμήν. Ἀποστέλλει ὁ Πατὴρ καὶ τὸ Πνεῦμα καὶ τὸν Υἱόν, ἀποστέλλει τὸν Πατέρα καὶ τὸ Πνεῦμα καὶ ὁ Υἱός, ἰδοὺ τῆς φύσεως τὸ ἰσότιμον· ἀλλὰ πολλάκις ὁ Πατὴρ ἀποστέλλει, ἰδοὺ τοῦ αἰτίου τὸ ἐξαίρετον· οὕτως ἐν τῷ ἀπαραλλάκτῳ τῆς οὐσίας τὸ πατρικὸν ἴδιον ἐκλάμπει, καὶ συνεκλάμψασθαι δίδωσι τῶν ἐξ αὐτοῦ προεληλυθότων τὸ ὁμοφυὲς καὶ ἰσότιμον.

§. δ'. Λέγεται τοίνυν δι' Υἱοῦ τὴν κτίσιν ἐκ μὴ ὄντων ὑποστῆναι, ἀλλὰ καὶ τῆς Παλαιᾶς ἀνακηρύττεσθαι νομοθέτην, τῆς θείας πόῤῥωθεν προνοίας ἐπιστομιζούσης τε καὶ πρόῤῥιζον τὴν ἀπόνοιαν ἀνασπώσης τῶν εἰς ἀντικειμένας ἀρχὰς δύο τολμώντων τὴν Παλαιὰν ἀναφέρειν καὶ τὴν Νέαν· εἰ γὰρ τὸν Υἱὸν τῆς Ἐκκλησίας λαμπρῶς ἀνομολογούσης τούς τε παλαιοὺς χρησμοὺς ἀποφῆναι, καὶ τῆς Νέας τὸν αὐτὸν εἰσηγητὴν γεγονέναι, καὶ πρό γε τούτων τὴν τῶν κτισμάτων φύσιν ἐκ μὴ ὄντων οὐσιῶσαι, ὅμως οὖν τὸ Μανιχαίων μισόχριστον καὶ θεομάχον ἔθνος καὶ οἱ Μαρκίωνες 2) οὐ φρίττουσιν εἰς ἑτέραν μὲν ἀρχὴν τὸ εὐαγγελικὸν κήρυγμα ἀνάγειν, εἰς τὴν 3) μαχομένην δὲ τὰ μωσαϊκά, τίνα ἂν παρέδραμον βλασφημίας ὄγκον, εἰ τῶν παλαιῶν μὲν γραμμάτων ἀφωρισμένος νομοθέτης ὁ Πατὴρ ἀνεκηρύττετο, ἀφωρισμένος δὲ τῆς χάριτος ὁ Υἱός; Ἀλλὰ ταῦτα ἑτέρου καιροῦ μᾶλλον καὶ ὑποθέσεως ἄλλης. Δεῖ δὲ πάλιν εἰς τὴν ἀπ' ἀρχῆς ἀπορίαν ἐπανελθεῖν. Πῶς ὁ μὲν Πατὴρ διὰ τοῦ Υἱοῦ δημιουργεῖ, ὁ δὲ Υἱὸς οὐκέτι διὰ τοῦ Πατρός; ἡ γὰρ εἰρημένη λύσις ἔλυσε μὲν λαμπρῶς τὸ μέρος τῆς ἀπορίας, ἐπέτεινε δὲ μᾶλλον τὸ λοιπόν. Πλὴν ἐπείπερ ἄμεινον 4), μὴ μόνον ταῖς εὐλόγοις ἐπερείδεσθαι θεωρίαις, ἀλλὰ καὶ τῇ τῶν λογίων χρήσει καὶ διδασκαλίᾳ κατασφαλίζεσθαι ταύτας· χρησμοῖς γὰρ τοῦ παναγίου Πνεύματος τὰ ἡμέτερα περιεχόμενα, ὅσον προσλαμβάνουσι τὸ κράτος, τοσοῦτον νικᾷν ἀνάγονται τὸν μῶμον.

ΡΠϚ'. (ΒΜ. ρπθ.)

Διὰ τί Πνεῦμα μὲν Πατρὸς καὶ Πνεῦμα Υἱοῦ ἱερολογοῦμεν, οὐκέτι δὲ Πατέρα Πνεύματος, οὐδὲ Υἱὸν ἀποδίδοσθαι συνομολογοῦμεν;

Ἡ ὑπεράρχιος καὶ ὑπέρθεος τῶν θεαρχικῶν ὑποστάσεων θεότης τὰ πλεῖστα μέν, ὥσπερ τῷ ἀκαταλήπτῳ, οὕτω δὴ καὶ τῷ ἀφθέγκτῳ περιστέλλεται, οὐ τῇ κατὰ τὴν φύσιν μόνον θεωρίᾳ, ἀλλά γε δὴ καὶ τῇ ἀνεπινοήτῳ τῶν ἰδιωμάτων ὑπεριδρυμένῃ κρυφιότητι· καὶ πολλῷ δὴ μᾶλλον αἰτιολογεῖσθαι γηγενῶν διανοίας ἀνακεχώρηκε. Πλὴν ἔστιν ὧν 5), φιλανθρώπως τῆς ἐκεῖθεν αἴγλης ἡμῖν τὰς ἀκτῖνας ἐναστραπτούσης, ὡς διά τινος ἐσόπτρου, τῆς εἰλικρινοῦς ἡμῶν ἐφέσεως, καὶ τῆς ἐν τῇ πίστει διαυγείας τὴν ἐπίγνωσιν φωτιζόμεθα· τὸ γὰρ παντελῶς ἀθεώρητον, καὶ ἀνέραστον, καὶ οὐδὲ σπινθῆρα καταβαλεῖν πόθου, καὶ εἰς φλόγα τὸν πόθον ἀνάψαι, καὶ πρὸς ἑαυτὸ ἐφελκύσασθαι οὐδεμίαν παρέχον ἐπιτηδειότητα· σπάνιον δὲ τῆς ἄνωθεν κατιούσης ἐπιπνοίας καὶ τὴν ὑψηλοτέραν μάθησιν παρεχομένης τὸ χρῆμα, καὶ δεόμενον κεκαθαρμένης διανοίας, καὶ τῆς τῶν πολλῶν ἀνακεχωρηκὸς ὑπολήψεως. Ὅσα δὲ καθορᾶν ἡμῖν τῶν ἄνωθεν προϊόντων τὸ ἀσθενὲς τῆς φύσεως οὐκ ἐνδίδωσιν, ἐκ τῶν καθ' ἡμᾶς καὶ συνήθων ἀνάγεσθαι πρὸς τὴν ὑπὲρ ἔννοιαν αὐτῆς θεωρίαν χάριν ἡμῖν παρασχεῖν ἡ φιλάνθρωπος ἀγαθότης κατηξίωσε, δι' αὐτῶν ἡμᾶς χειραγωγοῦσα καὶ ἀνάγουσα εἰς τὴν περὶ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος θεοπρεπῆ φαντασίαν, καὶ τὸν ἡμῶν θεῖον ἔρωτα

1) Ἐν αὐτῷ ΒΜ – 2) Κατὰ Μανιχαίων διεξοδικὸν τοῦ Φωτίου σύγγραμμα ἐξέδωκεν ὁ Μοντεφαλκόνιος (ἐν Κοισλ. Βιβλιοθήκ. σελ. 349—375) καὶ Οὔολφιος (βλ. ὄπισθ. σελ. 242). Περὶ δὲ Μαρκίωνος βλέπ. Ἐπιφάν. Αἱρέσ. μβ, καὶ Ἱερώνυμ. ἐπιστ. 123. – 3) Ἐν ΒΜ. λείπει ἡ εἰς. Ἀλλ' οἶμαι ἐν ἀμφοτέροις γρ. εἰς ἑτέραν δὲ μαχομένην. – 4) Οὕτω καὶ ΒΜ. ἀλλὰ τὰ ἐπαγόμενα ἀπαρέμφατα πάντως ἀπαιτοῦσι τὸ χρὴ (ἐκπεπτωκός). – 5) Λείπει ἐν ΒΜ. τὸ ὧν.

δι' ἀναλογίας ψυχαγωγοῦσα καὶ ἀναπλοῦσα 1) πρὸς γνῶσιν, ὑπὸ τῆς παντελοῦς ἀγνωσίας στενοχωρούμενον. Διὰ ταῦτα τοιγαροῦν καὶ Πνεῦμα μὲν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ πανάγιον Πνεῦμα λέγειν οὐκ ἐπιδιστάζομεν· ἐπειδὴ κἀν τοῖς καθ' ἡμᾶς τόν τε Πατέρα καὶ τὸν Υἱὸν Πνεῦμά τε ἔχειν ὁρῶμεν, καὶ συνομολογεῖν ἐπιστάμεθα· τὸ μέντοι Πνεῦμα υἱόν, ἢ πατέρα ἔχειν, οὔτε λέγειν ἀνεχόμεθα, οὔτε λογισμοῖς παραδεχόμεθα. Ἐκ δὴ τῆς τῶν καθ' ἡμᾶς ὁμολογουμένων ἀναλογίας εἰς τὴν ὑπὲρ ἡμᾶς ἱερολογίαν τῶν ὑπερουσίων τε καὶ ὑπερθέων θεαρχικῶν ὑποστάσεων ἀναγόμενοι, εἰκότως Πνεῦμα μὲν Πατρὸς καὶ Υἱοῦ λέγειν διδασκόμεθα, Πατέρα δὲ Πνεύματος ἢ Υἱὸν οὐκέτι μαθεῖν ὑφιστάμεθα.

ΡΠΖ. (ΒΜ. ρϙ.)

Τί δήποτε, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὁμοουσίων τε καὶ ὁμοταγῶν κατά γε δύναμιν καὶ βουλὴν καὶ κυριότητα πεφυκότων, ἐν τῇ συναριθμήσει τὴν 2) πρώτην τάξιν ὁ Πατὴρ ἐπέχει;

§. α'. Ἄλλος μὲν οὖν ἄν τις ἴσως, θεολογικωτέραις ἐποχούμενος ἐννοίαις, καὶ τῆς ἄνωθεν αἴγλης τὰς ἀκτῖνας ὑποδέχεσθαι διὰ τῆς τῶν ἀρετῶν τελειότητος ἐπιτηδειότερον ἑαυτὸν παρασκευάσας, εἰς ὑψηλότερον ἀνηγμένην θεωρίαν τὴν αὐτοῦ κατάληψιν ἐπιδείξοι, καὶ λόγον ἀποδώσοι τῶν ἠπορημένων, ἐφ' ὃν οὐ ῥάδιον ἀναβαίνειν ὅσοις τῶν γηΐνων ἀπαλλαγὴ μὴ γέγονεν ἀναστρέφεσθαι 3). Ἐμοὶ δέ, μηδὲν τῶν ὑψηλοτέρων ἐμαυτῷ συνειδότι, καὶ τῆς κατὰ τὴν παροικίαν ἀγωγῆς οὔπω τοῖς λογισμοῖς μεταναστάντι, ἃ δὴ πάρεστιν ἔκ τε τῆς τῶν λογίων μελέτης, καὶ τῆς ἐν αὐτοῖς γυμνασίας, τῆς ἄνωθεν ἡμῖν συνεφαπτομένης περιγεγονότα προνοίας, τοῖς ὅσοι 4) κοινὴν τὴν εὐσέβειαν καὶ τὸν ἐπ' αὐτῇ ζῆλον κεκτημένοις ἰσοστάσιον, εἰς κοινὴν ὠφέλειαν προθεῖναι τὸ πρόθυμον οὐ περιοφθήσεται. Ὁμοφυῆ μὲν οὖν ἐστι Πατὴρ καὶ Υἱὸς καὶ Πνεῦμα, καὶ τὸ τῆς βουλῆς καὶ δυνάμεως καὶ βασιλείας ἐνορᾶν ἐστιν αὐτοῖς ἀπαράλλακτον, καὶ δὴ καὶ τῶν ἄλλων θεοπρεπῶν τε καὶ ὑπερφυῶν ὀνομάτων, δι' ὧν ἡ ὑπεράρχιος καὶ ὑπέρθεος θεαρχία κατονομάζεται. Ἀλλ' οὖν ὁ Πατὴρ αἴτιος τῶν ἐξ αὐτοῦ πεφυκότων, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν, εἰς αὐτόν, ὡς εἰς ἀρχὴν συμφυοῦς τε καὶ συνανάρχου προαγωγῆς, ἀναφερομένων. Ἀλλ' αὕτη μὲν ἡ ἀπόδοσις τὸν Πατέρα δείκνυσιν εὐλόγως τῶν ἐξ αὐτοῦ προτετάχθαι, οὐκέτι δὲ καὶ διότι τοῦ Πνεύματος ὁ Υἱός. Κοινοτέρᾳ δὲ μεθόδῳ προεληλυθὼς ὁ λόγος ἂν φανείη 5), ὁ τὴν συναρίθμησιν τῆς ὑπεραγίας 6) Τριάδος εἰς τὴν τῆς ἐπιγνώσεως ἑκάστου καταῤῥυθμίζων τάξιν. Πατὴρ μὲν γὰρ ἀνθρώποις κατ' ἀρχὰς εἰς γνῶσιν ἧκεν, ἔπειτα Υἱός, καὶ διὰ τοῦ Υἱοῦ, τὸ Πνεῦμα τὸ ἅγιον· εἰ γὰρ καὶ ὑπ' ἀλλήλων τῶν θεαρχικῶν ὑποστάσεων τοῖς ἀνθρώποις ἡ γνῶσις ἑκάστου ἀπεκαλύφθη, Πατρὸς μὲν οὐρανόθεν τὸν Υἱὸν ἐπιδεικνύντος, τοῦ Πνεύματος δὲ τῇ ἐπιφοιτήσει συμμαρτυροῦντος, Υἱοῦ δὲ πάλιν τὸν Πατέρα δοξάζοντός τε καὶ περιφανέστερον θεολογοῦντος, καὶ μὴν καὶ τὸ Πνεῦμα τοῖς Μαθηταῖς ἀποστέλλοντος, ἀλλὰ γὰρ καὶ τοῦ Πνεύματος τὸν Υἱὸν κυριολογοῦντος («οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ» 7)· εἰ οὖν καὶ δι' ἀλλήλων ἡ 8) ἑνὸς αὐτῶν ἑκάστου πρόεισιν ἐκφαντορία καὶ κατάληψις, ὡς ἂν καὶ διὰ τούτων εἰς τὸ τῆς συμφυΐας ἀπαράλλακτον τὸν νοῦν ἀνάγειν εὐοδούμενον ἔχωμεν, καὶ ὅτι περ οἷς καθαρῶς τε καὶ εἰλικρινῶς μίαν τῶν μακαρίων καὶ δημιουργικῶν 9) ὑποστάσεων εἰδέναι κεχάρισται, τούτοις καὶ τῶν λοιπῶν ἡ γνῶσις συνδιασώζεται (ὁ γὰρ εἰδὼς τὸν Πατέρα οἶδε καὶ τὸν Υἱόν, καὶ ὁ τὸν Υἱὸν ἐπιγνοὺς κατὰ τὴν ὡς ἐν ἀνθρώποις τῆς γνώσεως τελειότητα, οὐδὲ τῆς ὁμοίας ἐπιγνώσεως τοῦ Πατρὸς ἀπεστέρηται· ὡσαύτως δὲ καὶ τοῦ Πνεύματος, ὃ τὰ βάθη τοῦ Θεοῦ διερευνᾷ 10), καὶ ἀποκαλύπτει τοῖς ἀνθρώποις τὰ κρύφιά τε τῶν μαθημάτων καὶ τελειότερα, ὁ τούτου τὴν μάθησιν εἰλικρινῆ λαβών, οὐδὲ τῆς θεολογούσης τὸν Πατέρα θεοσοφίας, οὐ μὴν οὐδὲ τῆς τὸν Υἱὸν συμμυσταγωγούσης ἠλλοτρίωται)· ἀλλ' οὖν εἰ καὶ οὕτω ταῦτα ἐν ἐναρμονίῳ συναφείᾳ διαπλέκεται καὶ ἀναπλοῦται, οὐκ ἄδηλον, ὡς ἡ μὲν τοῦ Πατρὸς φωνὴ χρόνῳ πρότερον ἀνθρώποις ἐπεγνώσθη, καὶ μᾶλλον, ἥπερ ἡ τὸν Υἱὸν δηλοῦσα, συνήθης ἀκοαῖς ἐγεγόνει, τὸ δέ γε ῥῆμα τοῦ Πνεύματος εἰ καὶ μᾶλλον ἢ τὴν τοῦ Υἱοῦ κλῆσιν ἡ Μωσέως ἐδίδασκεν ἱστορία 11), πλὴν οὐκ ἦν οὕτω δυνατόν, ὥσπερ ἡ τοῦ Υἱοῦ προσηγορία, τοῦ αὐθυπόστατον 12) συνεισάγειν ἐπ' ἄμφω τὴν ῥοπήν, τῆς φωνῆς ἀδιάφορον ἐχούσης ἐπί τε τῶν αὐθυποστάτων φέρεσθαι, καὶ ἐπὶ τῶν μέρους τινὰ λόγον τῆς ὑποστάσεως ἀναπληρούντων· καὶ τοσοῦτον ἐνέδει τὴν θεοπρεπῆ μάθησιν τοῦ

1) Ἀναπληροῦσα ΒΜ· – 2) Λείπει τὸ τὴν ἐν ΒΜ. – 3) Ὀρθότερον ὁ ΒΜ. ὅσοις τῆς τῶν γηΐνων ἀναστροφῆς ἀπαλλαγῆναι μὴ γέγονεν. – 4) Τὸ ὅσοι παρέλκει. – 5) Ἀναφανείη ΒΜ. – 6) Ὑπεραγίου ΒΜ. – 7) Α. Κορινθ. ιβ, 3. – 8) ἢ ΒΜ. – 9) Δημιουργῶν ΒΜ. – 10) Α. Κορινθ. β, 11. – 11) Βλ. Ζήτημ. ΜΓ. §. ιζ. – 12) Οὕτω καὶ τὸ ΒΜ. ἀλλ' ἴσ. γρ. τοῦ αὐθυποστάτου.